# Η ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ
## ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ (Ο')

(SEPTUAGINTA)

ΕΚΔΟΣΙΣ ΥΠΟ
Alfred Rahlfs

ΔΕΥΤΕΡΑ ΑΝΑΘΕΩΡΗΜΕΝΗ ΕΚΔΟΣΙΣ
ΕΠΙΜΕΛΕΙΑ:
Robert Hanhart

ΔΥΟ ΤΟΜΟΙ ΕΙΣ ΕΝΑ

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΚΗ ΕΤΑΙΡΙΑ

# SEPTUAGINTA

Id est Vetus Testamentum graece iuxta LXX interpretes
edidit Alfred Rahlfs

Editio altera
quam recognovit et emendavit
Robert Hanhart

Duo volumina in uno

UNIVERSITÉ DE GENÈVE
FT 28104-11
Faculté autonome de Théologie
221.04=76.04

DEUTSCHE BIBELGESELLSCHAFT

ἔτι ἐδίδαξεν γνῶσιν σὺν τὸν λαόν,
καὶ οὓς ἐξιχνιάσεται κόσμιον παραβολῶν.
10 πολλὰ ἐζήτησεν Ἐκκλησιαστὴς
τοῦ εὑρεῖν λόγους θελήματος
καὶ γεγραμμένον εὐθύτητος, λόγους ἀληθείας.
11 Λόγοι σοφῶν ὡς τὰ βούκεντρα
καὶ ὡς ἧλοι πεφυτευμένοι,
οἳ παρὰ τῶν συναγμάτων ἐδόθησαν
ἐκ ποιμένος ἑνὸς καὶ περισσὸν ἐξ αὐτῶν.
12 υἱέ μου, φύλαξαι ποιῆσαι βιβλία πολλά·
οὐκ ἔστιν περασμός, καὶ μελέτη πολλὴ κόπωσις σαρκός.
13 Τέλος λόγου τὸ πᾶν ἀκούεται
Τὸν θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε,
ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος.
14 ὅτι σὺν πᾶν τὸ ποίημα ὁ θεὸς ἄξει ἐν κρίσει
ἐν παντὶ παρεωραμένῳ,
ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν.

$9^2$ ετι La†] οτι B pau., και V†, και οτι rel. | εδιδασκεν Sc | λαον V†] ανθρωπον rel.: ΑΝΟΝ pro ΛΑΟΝ | $9^3$ ους αυτου εξιχνιασατο Sc† || $10^1$ πολλα ad 9 trahit 𝔐 | εκκλ.: cf. $9^1$ | $10^3$ και > A† || $11^2$ πεφυτ. BV†] πεπυρωμενοι rel. | $11^3$ οι παρα των = בַּעֲלֵי (cf. 5 10), sed οι Graecis est pron. rel. | συναγμ. S*A†] συνταγμ. Sc, συνθεμ. B pl. | $11^4$ και περ. εξ αυτων ad 12 trahit 𝔐 || $12^1$ φυλασσου SA | ποιησαι] pr. του BASc || $13^1$ ακουεται V†] ται > rel. || $14^1$ συμπαν B: cf. 1 14 | ο θεος / αξει B†] tr. rel. | $14^3$ εαν .. και εαν] εαν τε .. εαν τε S

Subscr. εκκλησιαστης BSA

## ΑΣΜΑ

1 1 Ἆισμα ᾀσμάτων, ὅ ἐστιν τῷ Σαλωμων.
2 Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ,
ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον,
3 καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα,
μύρον ἐκκενωθὲν ὄνομά σου.
διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε,

Cant.: BSA. — O = Sy.
Inscr. ασμα B] + ασματων S, ασματα ασματων A†
1 1 σαλωμων S hoc loco, sed in 5 3 7.9.11 8 11.12 S σολομων; BA ubique σαλωμων; cf. Regn. III 1 10 || $3^2$ σου] σοι A



4 εἵλκυσάν σε,
ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν.
Εἰσήνεγκέν με ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ.
Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοί,
ἀγαπήσομεν μαστούς σου ὑπὲρ οἶνον·
εὐθύτης ἠγάπησέν σε.
5 Μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ιερουσαλημ,
ὡς σκηνώματα Κηδαρ, ὡς δέρρεις Σαλωμων.
6 μὴ βλέψητέ με, ὅτι ἐγώ εἰμι μεμελανωμένη,
ὅτι παρέβλεψέν με ὁ ἥλιος·
υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί,
ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν·
ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα.
7 Ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ ψυχή μου,
ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ,
μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ᾽ ἀγέλαις ἑταίρων σου.
8 Ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν,
ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων
καὶ ποίμαινε τὰς ἐρίφους σου
ἐπὶ σκηνώμασιν τῶν ποιμένων.
9 Τῇ ἵππῳ μου ἐν ἅρμασιν Φαραω
ὡμοίωσά σε, ἡ πλησίον μου.
10 τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνες,
τράχηλός σου ὡς ὁρμίσκοι;
11 ὁμοιώματα χρυσίου ποιήσομέν σοι
μετὰ στιγμάτων τοῦ ἀργυρίου.
12 Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ,
νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ.
13 ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοί,
ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται·
14 βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοὶ
ἐν ἀμπελῶσιν Εγγαδδι.
15 Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου,
ἰδοὺ εἶ καλή, ὀφθαλμοί σου περιστεραί.
16 Ἰδοὺ εἶ καλός, ὁ ἀδελφιδός μου, καί γε ὡραῖος·
πρὸς κλίνη ἡμῶν σύσκιος,
17 δοκοὶ οἴκων ἡμῶν κέδροι,

$4^1$] cum $3^3$ iungit B, cum $4^2$ iungit S, est stichus singularis in A | $4^5$ αγαπησωμεν Bc || $5^1$ ιερουσ.] ισραηλ B† | $5^2$ δερρις BA || $6^1$ με] μοι S† | $6^3$ εφυλαξαν A† || $7^2$ ποιμανεις A† | $7^3$ αγελας B† || $8^3$ και > S*† | $8^4$ ποιμ.] + σου A† || $9^1$ εν] επ A† || $10^2$ ορμισκος A† || $11^1$ ομοιωμα S*† | $13^2$ $14^1$ > B† || $16^1$ ο > B || $17^1$ οικων > S*

φατνώματα ἡμῶν κυπάρισσοι.
2 1 Ἐγὼ ἄνθος τοῦ πεδίου,
κρίνον τῶν κοιλάδων.
2 Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν,
οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων.
3 Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ,
οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν·
ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα,
καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου.
4 Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου,
τάξατε ἐπ᾽ ἐμὲ ἀγάπην.
5 στηρίσατέ με ἐν ἀμόραις,
στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ.
6 εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου,
καὶ ἡ δεξιὰ αὐτοῦ περιλήμψεταί με.
7 ὥρκισα ὑμᾶς, θυγατέρες Ιερουσαλημ,
ἐν ταῖς δυνάμεσιν καὶ ἐν ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ.
8 Φωνὴ ἀδελφιδοῦ μου·
ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη
διαλλόμενος ἐπὶ τοὺς βουνούς.
9 ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι
ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθηλ.
ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν
παρακύπτων διὰ τῶν θυρίδων
ἐκκύπτων διὰ τῶν δικτύων.
10 ἀποκρίνεται ἀδελφιδός μου καὶ λέγει μοι
Ἀνάστα ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου,
11 ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν,
ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ,
12 τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ,
καιρὸς τῆς τομῆς ἔφθακεν,
φωνὴ τοῦ τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν,
13 ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς,
αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.
ἀνάστα ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου,
14 καὶ ἐλθὲ σύ, περιστερά μου ἐν σκέπῃ τῆς πέτρας

2 5$^{1}$ αμοραις Gra. (cf. Par. I 16 3)] μυροις mss. | 5$^{2}$ με > A pau. || 7$^{2}$ ταις his
(cf. 3 5 5 8 8 4)] > B | 7$^{3}$ ου] αν S pau.: ex 3 5 8 4 || 9$^{2}$ τα > S† | 9$^{3}$ εστηκεν]
> BS*†, post ημων tr. S$^{c}$V† || 10$^{1}$ μοι > S† | 10$^{2}$ η > S†: cf. 4 1. 7 6 4 et
1 9. 15 2 13 5 2 || 11$^{1}$ ιδου > S*† || 12$^{2}$ εφθασεν S | 12$^{3}$ της τρυγ. S$^{c}$ ||
14$^{1}$ και ελθε συ ad 13 trahit 𝔐



ἐχόμενα τοῦ προτειχίσματος,
δεῖξόν μοι τὴν ὄψιν σου
καὶ ἀκούτισόν με τὴν φωνήν σου,
ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία.
15 Πιάσατε ἡμῖν ἀλώπεκας
μικροὺς ἀφανίζοντας ἀμπελῶνας,
καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.
16 Ἀδελφιδός μου ἐμοί, κἀγὼ αὐτῷ,
ὁ ποιμαίνων ἐν τοῖς κρίνοις,
17 ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί.
ἀπόστρεψον ὁμοιώθητι σύ, ἀδελφιδέ μου,
τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων
ἐπὶ ὄρη κοιλωμάτων.
3 1 Ἐπὶ κοίτην μου ἐν νυξὶν
ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου,
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτόν, καὶ οὐχ ὑπήκουσέν μου.
2 ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει
ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις
καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου·
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν.
3 εὕροσάν με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει
Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου εἴδετε;
4 ὡς μικρὸν ὅτε παρῆλθον ἀπ᾽ αὐτῶν,
ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου·
ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφήσω αὐτόν,
ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου
καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με.
5 ὥρκισα ὑμᾶς, θυγατέρες Ιερουσαλημ,
ἐν ταῖς δυνάμεσιν καὶ ἐν ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.
6 Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου
ὡς στελέχη καπνοῦ τεθυμιαμένη
σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ;
7 ἰδοὺ ἡ κλίνη τοῦ Σαλωμων,
ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς
ἀπὸ δυνατῶν Ισραηλ,
8 πάντες κατέχοντες ῥομφαίαν

15$^{3}$ και > S* pau. | κυπριζουσαι B† || 17$^{1}$ η > A | 17$^{2}$ μου > B†
3 2$^{1}$ και > A† | post 2$^{4}$ = 1$^{3}$ repetunt omn. exc. BSO† stichum 1$^{4}$ ||
4$^{1}$] pr. ευρουσα αυτον S†: ex inscriptione huius stichi (cf. corollarium in
fine libri) repet. | αφηκα BS pl.

δεδιδαγμένοι πόλεμον,
ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ
ἀπὸ θάμβους ἐν νυξίν.
9 φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμων
ἀπὸ ξύλων τοῦ Λιβάνου,
10 στύλους αὐτοῦ ἐποίησεν ἀργύριον
καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον,
ἐπίβασις αὐτοῦ πορφυρᾶ,
ἐντὸς αὐτοῦ λιθόστρωτον,
ἀγάπην ἀπὸ θυγατέρων Ιερουσαλημ.
11 ἐξέλθατε καὶ ἴδετε
ἐν τῷ βασιλεῖ Σαλωμων
ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ
ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ
καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.
4 1 Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή.
ὀφθαλμοί σου περιστεραὶ
ἐκτὸς τῆς σιωπήσεώς σου.
τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν,
αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλααδ.
2 ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων,
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἱ πᾶσαι διδυμεύουσαι,
καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.
3 ὡς σπαρτίον τὸ κόκκινον χείλη σου,
καὶ ἡ λαλιά σου ὡραία.
ὡς λέπυρον τῆς ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
4 ὡς πύργος Δαυιδ τράχηλός σου
ὁ ᾠκοδομημένος εἰς θαλπιωθ·
χίλιοι θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν,
πᾶσαι βολίδες τῶν δυνατῶν.
5 δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος
οἱ νεμόμενοι ἐν κρίνοις.
6 ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί,
πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης
καὶ πρὸς τὸν βουνὸν τοῦ Λιβάνου.

$8^3$ ρομφαιαν S || $9^2$ ξυλου S† || $10^2$ χρυσιον S || $11^{1.2}$ (in S unus stichus): sic BS*†; post $11^1$ add. A, post $11^2$ add. S^cV† θυγατερες σιων
$4\,1^1$ η > BV†: cf. 2 10 | $1^5$ απο] εκ S*† || $3^1$ το BS†] > rel. | $3^3$ της > BS compl. || $4^2$ εις] εν S* | θαλφιωθ A | $4^4$ πασαι] + αι S || $6^1$ ου > A | η > S* | $6^3$ τον > B^c



7 ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.
8 Δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου·
ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως,
ἀπὸ κεφαλῆς Σανιρ καὶ Ερμων,
ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων.
9 Ἐκαρδίωσας ἡμᾶς, ἀδελφή μου νύμφη,
ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου,
ἐν μιᾷ ἐνθέματι τραχήλου σου.
10 τί ἐκαλλιώθησαν μαστοί σου, ἀδελφή μου νύμφη,
τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου;
καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα.
11 κηρίον ἀποστάζουσιν χείλη σου, νύμφη,
μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου,
καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ Λιβάνου.
12 Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη,
κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη·
13 ἀποστολαί σου παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων,
κύπροι μετὰ νάρδων,
14 νάρδος καὶ κρόκος,
κάλαμος καὶ κιννάμωμον
μετὰ πάντων ξύλων τοῦ Λιβάνου,
σμύρνα αλωθ μετὰ πάντων πρώτων μύρων,
15 πηγὴ κήπων, φρέαρ ὕδατος ζῶντος
καὶ ῥοιζοῦντος ἀπὸ τοῦ Λιβάνου.
16 Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε,
διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου·
καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ
καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.
5 1 Εἰσῆλθον εἰς κῆπόν μου, ἀδελφή μου νύμφη,
ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου,
ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου,
ἔπιον οἶνόν μου μετὰ γάλακτός μου·
φάγετε, πλησίοι, καὶ πίετε καὶ μεθύσθητε, ἀδελφοί.
2 Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ.
φωνὴ ἀδελφιδοῦ μου, κρούει ἐπὶ τὴν θύραν

7 καλη ει] tr. S†: cf. 1 | ει > V, η > B†: cf. 2 10 || $8^3$ σανιειρ S | αερμων SA pl.: cf. Ps. 132 3 || $9^2$ ενι] εν (sic) A†, εν ενι V† | $9^3$ μια] ενι S^cV† | τραχηλου] -λων B†, -λω V || $10^{1.2}$ μαστοι σου $1^0$ ⌒ $2^0$ B*† | $10^2$ τι] οτι S† | $10^4$ ιματ.] μυρων S† | τα > B† || $13^1$ ροων > BS*A^c || $14^4$ αλοη S (pr. και S^c†) || $15^1$ κηπου B | φρεαρ] pr. και B || $16^2$] pr. και BS | $16^4$ αυτου] μου A†: cf. 6 2
$5\,1^1$ μου $1^0$ > BS*† | $1^2$ σμυρναν] σταφυλην S† | $1^5$ πλησιοι BS*†] οι πλησιον A, οι πλησιον μου S^cV

Ἄνοιξόν μοι, ἀδελφή μου, ἡ πλησίον μου,
περιστερά μου, τελεία μου,
ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου
καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.
3 Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσωμαι αὐτόν;
ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;
4 ἀδελφιδός μου ἀπέστειλεν χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς,
καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.
5 ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου,
χεῖρές μου ἔσταξαν σμύρναν,
δάκτυλοί μου σμύρναν πλήρη
ἐπὶ χεῖρας τοῦ κλείθρου.
6 ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου,
ἀδελφιδός μου παρῆλθεν·
ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ,
ἐζήτησα αὐτὸν καὶ οὐχ εὗρον αὐτόν,
ἐκάλεσα αὐτόν, καὶ οὐχ ὑπήκουσέν μου.
7 εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει,
ἐπάταξάν με, ἐτραυμάτισάν με,
ἦραν τὸ θέριστρόν μου ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων.
8 ὥρκισα ὑμᾶς, θυγατέρες Ιερουσαλημ,
ἐν ταῖς δυνάμεσιν καὶ ἐν ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, τί ἀπαγγείλητε αὐτῷ;
ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ.
9 Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξίν,
τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς;
10 Ἀδελφιδός μου λευκὸς καὶ πυρρός,
ἐκλελοχισμένος ἀπὸ μυριάδων·
11 κεφαλὴ αὐτοῦ χρυσίον καὶ φαζ,
βόστρυχοι αὐτοῦ ἐλάται, μέλανες ὡς κόραξ,
12 ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων
λελουσμέναι ἐν γάλακτι
καθήμεναι ἐπὶ πληρώματα ὑδάτων,
13 σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά,
χείλη αὐτοῦ κρίνα στάζοντα σμύρναν πλήρη,
14 χεῖρες αὐτοῦ τορευταὶ χρυσαῖ πεπληρωμέναι θαρσις,

$2^6$ οι > S*† || $5^1$ εγω ανοιξαι] tr. S† | $5^2$] pr. αι A(c?)† | $5^4$ cum $6^1$ iungunt BS || $6^3$] pr. η A | απηλθεν S† | $6^5$ ουκ επηκουσεν A† || $7^3$ μου > S || $8^6$ αδελφον S*†: cf. 6 2 | τι απαγγ.] απαγγειλατε S | $8^4$ τετρ. αγ.] tr. S† (S*† τετρωμενης) | ειμι εγω] εγω B*, ειμι Bc† || $10^2$ απο] εκ S*† || $12^1$] pr. οι SV compl. | $12^2$ λελουσμ.] σ > SA: cf. Thack. p. 220 | $12^3$ υδατων] > B†, in O sub ÷ (÷ in O per errorem ante $12^1$ υδατων)



κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου,
15 κνῆμαι αὐτοῦ στῦλοι μαρμάρινοι
τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς,
εἶδος αὐτοῦ ὡς Λίβανος, ἐκλεκτὸς ὡς κέδροι,
16 φάρυγξ αὐτοῦ γλυκασμοὶ καὶ ὅλος ἐπιθυμία·
οὗτος ἀδελφιδός μου,
καὶ οὗτος πλησίον μου, θυγατέρες Ιερουσαλημ.
6 1 Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξίν;
ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου;
καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.
2 Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ
εἰς φιάλας τοῦ ἀρώματος
ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν κρίνα·
3 ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἀδελφιδός μου ἐμοὶ
ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.
4 Καλὴ εἶ, ἡ πλησίον μου, ὡς εὐδοκία,
ὡραία ὡς Ιερουσαλημ,
θάμβος ὡς τεταγμέναι.
5 ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον μου,
ὅτι αὐτοὶ ἀνεπτέρωσάν με.
τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν,
αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλααδ.
6 ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων,
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ,
αἱ πᾶσαι διδυμεύουσαι,
καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.
7 ὡς σπαρτίον τὸ κόκκινον χείλη σου,
καὶ ἡ λαλιά σου ὡραία.
ὡς λέπυρον τῆς ῥόας μῆλόν σου
ἐκτὸς τῆς σιωπήσεώς σου.
8 Ἑξήκοντά εἰσιν βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί,
καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.
9 μία ἐστὶν περιστερά μου, τελεία μου,
μία ἐστὶν τῇ μητρὶ αὐτῆς,
ἐκλεκτή ἐστιν τῇ τεκούσῃ αὐτῆς.
εἴδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτήν,
βασίλισσαι καὶ παλλακαὶ καὶ αἰνέσουσιν αὐτήν.

$6\,2^1$ αδελφος B†: cf. 5 8 | αυτου] μου A†: cf. 4 16 || $3^1$ αδελφιδος] pr. ο SA pl. || $4^1$ ει > S | η > B pau.: cf. 2 10 || $5^1$ οφθ. σου / απ. μου] tr. S† | $5^4$ ανεφαν.] ανεβησαν S: cf. $6^2$ || $7^{1.2} = 4\,3^{1.2}$ | $7^1$ το B†] > rel. | $7^3$ της > B* pau. || $9^3$ εστιν > S* pau. | αυτης BS*A pau.] -την rel.: cf. 8 5 | $9^5$ και $1^0$] + γε B S compl. | και ult. > S

10 Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος,
καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος,
θάμβος ὡς τεταγμέναι;
11 Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γενήμασιν τοῦ χειμάρρου,
ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος,
ἐξήνθησαν αἱ ῥόαι·
ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.
12 οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Αμιναδαβ.
7 1 Ἐπίστρεφε ἐπίστρεφε, ἡ Σουλαμῖτις,
ἐπίστρεφε ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.
Τί ὄψεσθε ἐν τῇ Σουλαμίτιδι;
ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν.
2 Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασιν,
θύγατερ Ναδαβ;
ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις
ἔργῳ χειρῶν τεχνίτου·
3 ὀμφαλός σου κρατὴρ τορευτὸς
μὴ ὑστερούμενος κρᾶμα·
κοιλία σου θημωνιὰ σίτου πεφραγμένη ἐν κρίνοις·
4 δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος·
5 τράχηλός σου ὡς πύργος ἐλεφάντινος·
ὀφθαλμοί σου ὡς λίμναι ἐν Εσεβων
ἐν πύλαις θυγατρὸς πολλῶν·
μυκτήρ σου ὡς πύργος τοῦ Λιβάνου
σκοπεύων πρόσωπον Δαμασκοῦ·
6 κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος,
καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα,
βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.
7 Τί ὡραιώθης καὶ τί ἡδύνθης,
ἀγάπη, ἐν τρυφαῖς σου;
8 τοῦτο μέγεθός σου ὡμοιώθη τῷ φοίνικι
καὶ οἱ μαστοί σου τοῖς βότρυσιν.
9 εἶπα Ἀναβήσομαι ἐν τῷ φοίνικι,
κρατήσω τῶν ὕψεων αὐτοῦ,
καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου
καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα

10[2] ο > S | 10[3] τεταγμενη Bc† || 11[1] γενηματι SA | 11[3] εξηνθησαν] ει ηνθ. A pl.: cf. 7 13[3] | 11[4] = 7 13[4] || 12 η > S†
7 1[1] σουμανειτις et 1[3] σουμανειτιδι B(†): cf. Regn. III 1 15 IV 4 12 || 2[1] τι (cf. 7[1]) > BSV† | 2[2] θυγ. αμιναδαβ A pau. | 2[4] εργον B, εργων S pau. | χειρων > BS pau. || 3[2] κραματος SA pau. || 5[1]] pr. ο B | 5[2]] pr. οι B || 7[1] ηδυνηθης S† || 8[1] ωμοιωθη] -θης B, ομοιωθητι S† || 9[1] εν] επι BS | 9[2]] pr. και S* | 9[3] και > S*†



10 καὶ λάρυγξ σου ὡς οἶνος ὁ ἀγαθὸς
πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα
ἱκανούμενος χείλεσίν μου καὶ ὀδοῦσιν.
11 Ἐγὼ τῷ ἀδελφιδῷ μου,
καὶ ἐπ᾽ ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.
12 ἐλθέ, ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρόν,
αὐλισθῶμεν ἐν κώμαις·
13 ὀρθρίσωμεν εἰς ἀμπελῶνας,
ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος,
ἤνθησεν ὁ κυπρισμός, ἤνθησαν αἱ ῥόαι·
ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.
14 οἱ μανδραγόραι ἔδωκαν ὀσμήν,
καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀκρόδρυα,
νέα πρὸς παλαιά, ἀδελφιδέ μου, ἐτήρησά σοι.
8 1 Τίς δῴη σε ἀδελφιδόν μου θηλάζοντα μαστοὺς μητρός μου;
εὑροῦσά σε ἔξω φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσίν μοι.
2 παραλήμψομαί σε, εἰσάξω σε εἰς οἶκον μητρός μου
καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με·
ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ,
ἀπὸ νάματος ῥοῶν μου.
3 Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου,
καὶ ἡ δεξιὰ αὐτοῦ περιλήμψεταί με.
4 ὥρκισα ὑμᾶς, θυγατέρες Ιερουσαλημ,
ἐν ταῖς δυνάμεσιν καὶ ἐν ταῖς ἰσχύσεσιν τοῦ ἀγροῦ,
τί ἐγείρητε καὶ τί ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.
5 Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη
ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς;
Ὑπὸ μῆλον ἐξήγειρά σε·
ἐκεῖ ὠδίνησέν σε ἡ μήτηρ σου,
ἐκεῖ ὠδίνησέν σε ἡ τεκοῦσά σου.
6 Θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν σου,
ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου·
ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη,
σκληρὸς ὡς ᾅδης ζῆλος·
περίπτερα αὐτῆς περίπτερα πυρός, φλόγες αὐτῆς·
7 ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην,

10[1] λαρ.] pr. ο BAc | ο > A pl. | 10[3] χειλ.] pr. εν A || 14[1]] + αυτων S
8 1[1] αδελφιδον BS pau.] -φιδουν V† (V† ubique ου pro ο), -φιδε rel. | 1[2] μοι BS*V†] με rel. || 2[4] μου] σου B*† || 3[2] η (cf. 2 6)] > A† || 4[3] τι εγ. και τι(> S*) εξεγ.] εαν εγ. και (+ εαν Bc) εξεγ. B: ex 2 7 3 5 || 5[1] λελευκανθ.] ν > B pau. | 5[5] σου B*S*†] σε rel.: cf. 6 9 || 6[4] σκληρον A† | 6[5] πυρος] + ανθρακες πυρος ScV | φλογος S*†

καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν·
ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,
ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.
8 Ἀδελφὴ ἡμῖν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει·
τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν
ἐν ἡμέρᾳ, ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ;
9 εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ᾽ αὐτὴν ἐπάλξεις ἀργυρᾶς·
καὶ εἰ θύρα ἐστίν, διαγράψωμεν ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην.
10 Ἐγὼ τεῖχος, καὶ μαστοί μου ὡς πύργοι·
ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην.
11 Ἀμπελὼν ἐγενήθη τῷ Σαλωμων ἐν Βεελαμων·
ἔδωκεν τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν,
ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου.
12 ἀμπελών μου ἐμὸς ἐνώπιόν μου·
οἱ χίλιοι σοί, Σαλωμων, καὶ οἱ διακόσιοι
τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.
13 Ὁ καθήμενος ἐν κήποις,
ἑταῖροι προσέχοντες τῇ φωνῇ σου· ἀκούτισόν με.
14 Φύγε, ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι
ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμάτων.

$7^{2}$ συνκλ⟨ε⟩ισουσιν A || $8^{1}$ ημιν B*S*†] ημων rel. || **$10^{1}$** μαστοι] pr. οι S | ως > B pau. | $10^{2}$ αυτων B† | ως > A | ειρηνην] χαριν S† || **$11^{1}$** εγενηθην A† | βεελλαμων S†, βεεθλαμων B† | $11^{3}$ > A† | αργυριου] -ριους αυτου S*†, -ριους compl. || **$12^{2}$** σοι V pau.] > BA: excidit post -ιοι; τω S | διακ.] δισχιλιοι S*† || **$13^{2}$** την φωνην S (την φ. σου ακουτ. με est stichus in S: item in A τη φωνη retinente) || **$14^{1}$** φευγε A pau. | μου > S*† | $14^{2}$ τω > A | των > S*A† | ορη] pr. τα SA | αρωμ.] κοιλωματων S*A pau.: ex 2 17
Subscr. ασμα B, ασμα ασματων SA: cf. inscr.

## Corollarium.

Ad finem libri noto distinctiones actorum in A et S (non in B): 1) A addit η νυμφη ante 1 $2^{1}$ $5^{1}$ $16^{1}$ 2 $17^{2}$ 4 $16^{1}$ 5 $3^{1}$ 6 $10^{1}$, ο νυμφιος ante 1 $3^{3}$ $12^{3}$ 2 $10^{2}$ 3 $6^{1}$ 5 $1^{1}$ 6 $4^{1}$ 8 $5^{3}$. — 2) S praebet in media columna has inscriptiones: 1 $2^{1}$ η νυμφη, $4^{3}$ ταις νεανισιν η νυμφη διηγειται τα περι του νυμφιου α εχαρισατο αυτη, $4^{4}$ της νυμφης διηγησαμενης ταις νεανισιν αιδε ειπαν, $4^{6}$ αι νεανιδες τω νυμφιω βοωσιν το ονομα της νυμφης ευθυτης ηγαπησεν σε (sic), $5^{1}$ η νυμφη, $7^{1}$ προς τον νυμφιον χριστον, $8^{1}$ ο νυμφιος προς την νυμφην, $10^{1}$ αι νεανιδες προς την νυμφην, $12^{2}$ η νυμφη προς εαυτην και προς τον νυμφιον, $15^{1}$ ο νυμφιος προς την νυμφην, $16^{1}$ η νυμφη προς τον νυμφιον, 2 $1^{1}$ ο νυμφιος προς εαυτον, $2^{1}$ και προς την νυμφην, $3^{1}$ η νυμφη προς τον νυμφιον, $4^{1}$ ταις νεανισιν η νυμφη φησιν, $6^{1}$ προς τον νυμφιον η νυμφη, $7^{1}$ ταις νεανισιν η νυμφη, $8^{1}$ ακηκοεν του νυμφιου η νυμφη, $9^{3}$ η νυμφη προς τας νεανιδας σημαινουσα αυταις τον νυμφιον, $15^{1}$ τοις νεανιαις ο νυμφιος ταδε, $16^{1}$ η νυμφη ταδε, 3 $3^{2}$ η νυμφη τοις φυλαξιν ειπεν, $4^{3}$ ευρουσα τον νυμφιον ειπεν, $5^{1}$ τας νεανιδας ορκιζει η νυμφη τουτο δευτερον (cf. 2 7), $6^{1}$ ο νυμφιος προς την νυμφην, 4 $16^{3}$ η νυμφη αιτειται τον πατερα ινα κατα-



βη ο νυμφιος αυτου(sic), 5 $1^{1}$ ο νυμφιος προς την νυμφην, $1^{5}$ τοις πλησιον ο νυμφιος, $2^{2}$ η νυμφη εσθετε(i. e. αισθεται, cf. Thack. p. 259) τον νυμφιον κρουοντα επι την θυραν, $2^{3}$ ο νυμφιος (η νυμφη ταδε S*), $3^{1}$ η νυμφη ταδε, $9^{1}$ αι θυγατερες ιερουσαλημ και οι φυλακες των τ⟨ε⟩ιχεων πυνθανονται της νυμφης, $10^{1}$ η νυμφη σημαιν⟨ε⟩ι τον αδελφιδον οποιος εστιν, 6 $1^{1}$ πυνθανονται της νυμφης αι θυγατερες ιερουσαλημ που απηλθεν ο αδελφιδος αυτης, $2^{1}$ η δε νυμφη αποκρινεται, $4^{1}$ ο νυμφιος προς την νυμφην, $10^{1}$ θυγατερες και βασιλισσαι ειδον την νυμφην και εμακαρισαν αυτην, $11^{1}$ ο νυμφιος προς την νυμφην, $11^{4}$ η νυμφη ταδε προς τον νυμφιον, 7 $1^{1}$ ο νυμφιος προς την νυμφην, $1^{3}$ ταις βασιλισσαις και ταις θυγατρασιν ο νυμφιος ταδε, $10^{2}$ η νυμφη, 8 $5^{1}$ αι θυγατερες και αι βασιλισσαι και οι του νυμφιου ειπαν, $5^{3}$ ο νυμφιος ταδε προς την νυμφην, $10^{1}$ η νυμφη παρρησιαζετε (pro -ται), $13^{1}$ η νυμφη.

# ΙΩΒ

1 1 Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αυσίτιδι, ᾧ ὄνομα Ιωβ,
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος,
θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.
2 ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.
3 καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια,
κάμηλοι τρισχίλιαι,
ζεύγη βοῶν πεντακόσια,
ὄνοι θήλειαι νομάδες πεντακόσιαι,
καὶ ὑπηρεσία πολλὴ σφόδρα
καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς·
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν.
4 συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους
ἐποιοῦσαν πότον καθ᾽ ἑκάστην ἡμέραν
συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν
ἐσθίειν καὶ πίνειν μετ᾽ αὐτῶν.

Iob: BSA; in S multa saeculo septimo correcta sunt, quae multis locis posterior corrector iterum correxit; has posteriores correctiones omitto. praeterea codicis V ab 30 9 incipientis mentionem facio, ubi hic codex cum A solo uel ASc concordat. — *O* in hoc libro multos stichos olim a 𝔊 atque etiam nunc a Sa absentes ex alio interprete (plerumque θ′) suppleuit, quos, cum omnes fere iam in antiquissimis codicibus graecis adsint, in textu retinui, sed exemplaria hexaplaria (Sy, La[ed. Lagarde, cf. inf.], paucos codices graecos, cf. Field) secutus asteriscis adpinctis signaui; cf. Ciasca Bibliorum fragmenta copto-sahidica II Romae 1889), p. XXIII—XXXII et P. de Lagarde Mittheilungen 2 (Gött. 1887), S. 189—237: Des Hieronymus Übertragung der griech. Übersetzung des Iob.
1 $1^{1}$ τις > A† | $1^{2}$ αληθ. / αμεμπτος δικ.] tr. A: cf. $8^{4}$ || $3^{2}$ τρισχιλιοι et $3^{4}$ πεντακοσιοι A† || $4^{1}$ οι υιοι / αυτου] tr. S*†